Prometheis. Primum inſtitutum fuit in honorem Promethei & memoriam ignis inuenti, vt ſcripſit Iſter, & Pauſanias teſtatur eidem arã poſitam vnde fax currebatur: Deinde Vulcano & Mineruę artium magiſtris, quæ ſine igne nullę ſunt. In eo certamine victor λαμπαδηφόρος dicebatur. quũ curſum perfeciſſet inexſtincta face. Multa præterea ſuper tribus λαμπαδηφορείαις tradiderũt Grammatici, præſertim Ranarum huius Comici Scholiaſtes, quæ prudens prætereo, neque enim inexcuſſa reliquit Rhodiginus antiquarius, vir maximus. Hoc tamen prætermiſit, facta hæc certamina in Ceramico, loco alto ad quem erat turris: erãt autem duo Ceramici, vnus qui occiſorum in bello ſepulcra continebat, alter quem colebant αἱ πόρναι, vt hoc etiam ne neſcias.

Σχόλ. Φαΰλλον.] εἴρηται περὶ Φαΰλλου ἐν Ἀχαρνεῦσιν, ὃ τοῦτ' αἷς δὲ ἡλικίας ὄνομα ὁ νέος ἔφηλιξ.

CH. Τὸν δρομέα Φαΰλλον] Phaullus optimus Curſor fuit Olympionices. eum ὁπλιτοδρόμον, & ὀδόμετρον vocabant. Quin & Quinquertio fuit, Illi ergo hoc Epigramma inſcriptum eſt,

Πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φαΰλλος,
Δίσκευσεν δ' ἑκατὸν πέντ' ἀπολειπομένων. id eſt,
Saltũ ad quinque pedes quinquagintaq; Phaullus
Diſcum ad cẽtũ egit quinque minus pedibus.

Sed quũ tres memorẽtur Phaulli, hoc loco, vt arbitror, intelligitur ille quẽ aiũt (vt ait Euſtathius in Dionyſiũ περιηγητὴν) vnius nauis imperatorem fuiſſe quã Crotoniatę miſerunt auxiliaturã Græciæ periclitãti in Perſico bello. Illic Phaullus dici-

Ἔπειτ' ἐπαίνεσόν τι τῶν χαλκωμάτων.
Ὀροφὴν θέασαι. κρεκάδι' αὐλῆς θαύμασον.
Ὕδωρ κατὰ χειρός. τὰς τραπέζας εἰσφέρειν.
Δειπνοῦμεν. ἀπονενίμμεθ' ἤδη. σπένδομεν.
Φι. Πρὸς τῶν θεῶν, ἐνύπνιον ἑστιώμεθα.
Βδε. Αὐλητρὶς ἐνεφύσησεν. οἱ δὲ συμπόται
Εἰσὶν. Θέωρος. Αἰσχίνης. Φανός. Κλέων.
Ξένος τις ἕτερος πρὸς κεφαλῆς Ἀκέστορος.
Τούτοις ξυνὼν, τὰ σκόλι' ὅπως δέξει καλῶς.
Φι. Ἀληθὲς ὡς οὐδείς γε Διακρίων δέξεται.
Βδε. Ἐγὼ εἴσομαι. καὶ δὴ γάρ εἰμ' ἐγὼ Κλέων.
Ἄδω δὲ πρῶτος Ἁρμοδίου. δέξει δὲ σύ.
Οὐδεὶς πώποτ' ἀνὴρ ἔγεντ' Ἀθηναῖος.
Φι. Οὐχ οὕτω γε πανοῦργος κλέπτης.
Βδε. Τουτὶ σὺ δράσεις παραπολεῖ βοώμενος;
Φήσει γὰρ ἐξολεῖν σε καὶ διαφθερεῖν,
Καὶ τῆσδε τῆς γῆς ἐξελᾶν. Φι. ἐγὼ δέ γε
Ἐάν γ' ἀπειλῇ, νὴ Δί' ἑτέραν ᾄσομαι.

Σχ. Ἐπαίνεσόν τι τῶν χ.] ὅτι οἱ ἐν συμποσίοις ἀνακείμενοι πρὸ τοῦ εἰσαχθῆναι τὰ βρώματα, ἐπαινοῦσι τὰ ἐν τῇ οἰκίᾳ σκεύη καὶ τὴν οἰκίαν καὶ τὰ ἐν τῇ αὐλῇ. Βις. Ὀροφὴν θέασαι] ὀροφὴ νῦν οὐ τὸ ἐξώτερον, καὶ ὑπέρτερον τοῦ δώματος στέγασμα δηλοῖ, ἀλλὰ τὸ τῆς πρώτης στέγης φάτνωμα, καὶ διάγλυφα σανιδώματα, ὃ καὶ ἀρσενικῶς ὄροφος λέγεται. Ἀνακρέων ἐν τῇ εἰς ῥόδον ᾠδῇ, „ Ὀρόφῳ τὸ δ' αὐτὸ τερπνὸν, „ Θαλείαις τε καὶ τραπέζαις, „ Διονυσίαις θ' ἑορταῖς. Κρεκάδι' αὐλῆς] εἴπερ ἡ γραφὴ καλῶς ἔχει, τὸ κρεκάδιον παραγωγόν ἐστι λεξομένου τοῦ ῥήματι κρέκειν. κρέκειν δὲ κυρίως, ὡς Σουΐδας φησί, τὸ τὴν κιθάραν κρούειν. καταχρηστικῶς δὲ, τὸ ἠχεῖν. ὅθεν κρεκάδιον, ὁ ἦχος, καὶ φθόγγος ὃν ἐστιν ἡ κιθάρα, ἢ ἄλλο τι μουσικὸν ὄργανον κρουόμενον ἀποτελεῖ. καὶ κρεκάδια αὐλῆς ἐνταῦθα σημαίνειν φαίνεται τὴν ἁρμονίαν, εἴτε συμφωνίαν, ἣν ἐν τῇ αὐλῇ τοιαῦτα ὄργανα ἐξακούεσθαι οἶδ' οὖσι. ἔθος γὰρ ἦν τὸ πάλαι, ὡς καὶ ἔτι, ἐν τοῖς τῶν πλουσιωτέρων συμποσίοις, ἱλαρότητος ἕνεκα, μουσικὴν παρέχειν. τούτων οὖν ὁ δὲ νοῦς οὐκ ἀνεπιτήδειος. τινὲς μέντοι, ἐπεὶ ἤδε ἡ λέξις κρεκάδιον ἀλλαχοῦ οὐδαμῶς εὑρίσκεται, ἐνταῦθα σφάλμα εἶναι λέγουσι, καὶ τοῦτον τὸν στίχον οὕτω πιθανωτάτα διορθοῦσιν, Ὀροφὴν θέασαι καὶ ἰκρίδι' αὐλῆς θαύμασον. ὃ τῆς παλαιᾶς γραφῆς ἐγγύτατα χωρεῖ. τὸ δὲ ἴκριον, ὄνομα πολύσημόν ἐστιν, ὡς ἐν ταῖς Θεσμοφ: διὰ πλειόνων δηλοῦται. ἀλλ' ἐνταῦθα κυρίως σημαίνειν δοκεῖ, τὰ περικαλλῆ ἐν αὐλαῖς σανιδώματα, καὶ οἱονεὶ σέλματα, καὶ ἁπλῶς πάντα τὰ μετέωρα, ὅπου ἡ τιμιωτάτη τῆς οἰκίας σκευὴ, κόσμου καὶ ἐπιδείξεως χάριν, ἐπιτίθεσθαι εἰώθει ἢ τὰ σανιδώματα, καὶ καθέδρας, ἐν αἷς ἐκάθηντο. οὕτω καὶ παρ' Ἀθηναίῳ ἐν τῷ τῶν Δειπνοσ: τετάρτῳ, Τοῖς δὲ Παναθηναίοις ὕπαρχος ὢν, ἴκριον ἔστησε πρὸς τοῖς Ἑρμαῖς Ἀρισταγόρα, μετεωρότερον τῶν Ἑρμῶν. ἴσως δὲ νῦν ὑποκοριστικῶς ἰκρίδια λέγεται, πρὸς διαστολὴν τῶν ἰκρίων, ἅπερ ἐν τοῖς θεάτροις, καὶ ἐν τῶν ἐκκλησίαις μείζω ἐποιεῖτο.

tur, ter viciſſe Pythia. Quum autẽ ait εἷλον διώκων λοιδορίας ψηφοῖν δυοῖν, ſemper ad ingenium redit ſenex, & lites intelligit & διώκειν vſurpat contra reum φεύγοντα aut curſorem.

Σχόλια. Εἷλον διώκων.] ἀντὶ τοῦ εἰπεῖν ὅτι ἐνίκησα δρόμῳ. πάλιν περὶ δίκης φησί. δρομεὺς δὲ ἄριστος ὁ Φαΰλλος. ξυνουσιαστικὸς δὲ κοινωνικός.

CH. Καὶ ξυνουσιαστικὸς] Non hoc loco ſignificat ὀχευτικὸν, ſed κοινωνικὸν, & quod Franci dictitamus, Sçauoir ſont entregent.

Σχ. Ὡδὶ κελεύεις] φαίνεται ὅτι πρὸς τῷ στόματι ἔχων τὰ γόνατα κατεκλίθη. γυμναστικῶς δὲ, παλαιστρικῶς. χύτλασον δὲ, διάχυσον σεαυτὸν ὑγρῶς ἀλεῖψαι. χυτλάζειν δὲ τὸ μιγνύναι καὶ διαχεῖν. χύτλα δὲ κυρίως τὸ ὑγρὸν ἔτι ἀπὸ ὕδατος ὄντος τοῦ σώματος ἀλείψασθαι. καὶ χύτλον τὸ ὑδρέλαιον.

CH. Γυμναστικῶς ὑγρὸν χύτλασον] Lauari & vngi ſolebãt ante cœnã, proinde vt in gymnaſiis Athletæ corpori ſuo ceroma adhibentes. Itaq; ex veteri conſuetudine dixit vetus poëta, Bona fœmina lauit & vnxit. Et Martialis in elegãtes parcos & vnguentis tantũ diffluentes, Cæterũ offerẽtes ſine cibo fercula, & vt ait Epigrãmatiſtes Græcus πειναλέους πίνακας, dixit Qui non cœnat & vngitur Fabulle, Is verè mihi mortuus videtur. Nam funeri etiam cœna parabatur, & cadauer vngebatur, Qui mos etiã hodie obtinuit in Regũ funeribus. Eſt autẽ τὸ χύτλον vel ὁ χύτλος mixtũ aqua vnguentũ, nẽpe cũ ex lotione aquæ adhuc humeſcit corpus, vnguinis aſperſio. Sanè enim ſordes aut puluerem ferre in conuiuia, nec honeſtum nec decorum fuit, vt ait Ariſtoteles.

Laudato quædam poſtea vaſaria,
Tecta intuetor, aulica crepitacula
Mirator, hinc vas aquale, menſam poſcito:
Edenda cœna, hinc lotio, hinc libatio.
PH. Deũm fidem, cœnamus hic inſomnia.
BD. Tibicina inflat, ecce conuiuæ tibi
Adſunt, Theorus, Æſchines, Phanus, Cleon,
Et alter hoſpes quidam Aceſterus ad caput.
Adſeſſor horum, Scolia vt accipias vide.
PH. Placet ne? at illa non capit Diacrius.
BD. Ego experibor ſcilicet, qui ſim Cleon
Ac primus Harmodij illud incinam, accipe,
Nunquam viſus homo eſt genitus Athenis.
PH. Tam certè veterator vel fur.
BD. Iſtud ne agis tu? at clamitans minabitur,
Dicetque, tete funditus peſſumdabo
Et exſulare cogã. PH. ego autem ſi quidem
Perget minari, per Iouem rurſus canam.